UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Antonini Liberalis Transformationum congeries

**Antoninus <Liberalis>**

**Basileae, 1568**

**VD16 A 2960**

Μάρκου Ἀντωνίνου αὐτοράτορ[ος], των εἰς ἑαυτόν Βίβλίον ια.

urn:nbn:de:hbz:466:1-70288

Visual Library

σαυτοῦ, καὶ σεαυτὸν πρῶτον ἐξέταζε. Μέμνησο ὅτι τὸ νευροσπαστοῦν ἐστὶν ἐκεῖνο, τὸ ἔνδοις ἐγκεκρυμμένοις· ἐκεῖνο ῥητορεία, ἐκεῖνο ζωή, ἐκεῖνο, εἰ δεῖ εἰπεῖν, ἄνθρωπος. μηδέποτε συμπεριφαντάζου τὸ περικείμενον ἀγγειῶδες, καὶ τὰ ὀργάνια ταῦτα τὰ περιπεπλασμένα. ὅμοια γάρ ἐστι σκεπάρνῳ. μόνον δὲ διαφέροντα, καθότι προσφυῆ ἐστιν· ἐπεί τοι οὐ μᾶλλόν τι τούτων ὄφελός ἐστι τῶν μορίων, χωρὶς τῆς κινούσης καὶ ἰσχούσης αὐτὰ αἰτίας, ἢ τῆς κερκίδος τῇ ὑφαντείᾳ, καὶ τοῦ καλάμου τῷ γράφοντι, καὶ τοῦ μαστιγίου τῷ ἡνιόχῳ.

# ΜΑΡΚΟΥ ἈΝΤΩΝΙ'ΝΟΥ αὐτοκράτορος, τῶμ εἰς ἑαυτὸμ βιβλίομ ια΄.

Τὰ ἴδια τῆς λογικῆς ψυχῆς· ἑαυτὴν ὁρᾷ, ἑαυτὴν διαρθροῖ, ἑαυτὴν ὁποίαν ἂν βούληται ποιεῖ, τὸν καρπὸν ὃν φέρει αὐτὴ καρποῦται (τοὺς γὰρ τῶν φυτῶν καρποὺς, καὶ τὸ ἀνάλογον ἐπὶ τῶν ζῴων ἄλλοι καρποῦνται) τοῦ ἰδίου τέλους τυγχάνει, ὅπου ἂν τὸ τοῦ βίου πέρας ἐπιστῇ. οὐχ ὥσπερ ἐπὶ ὀρχήσεως καὶ

ὑπο-

ὑποκρίσεως καὶ τῶν τοιούτων ἀτελὴς γίνεται ἡ ὅλη πρᾶξις ἐάν τι ἐγκόψῃ. ἀλλ' ἐπὶ παντὸς μέρους, καὶ ὅπου ἂν καταληφθῇ, πλῆρες καὶ ἀπροσδεὲς ἑαυτῇ τὸ προτεθὲν ποιεῖ· ὥστε εἰπεῖν, ἐγὼ ἀπέχω τὰ ἐμά. ἔτι δὲ περιέρχεται τὸν ὅλον κόσμον, καὶ τὸ περὶ αὐτὸν κενόν, καὶ τὸ σχῆμα αὐτοῦ, καὶ εἰς τὴν ἀπειρίαν τοῦ αἰῶνος ἐκτείνεται, καὶ τὴν περιοδικὴν παλιγγενεσίαν τῶν ὅλων ἐμπεριλαμβάνει, καὶ περινοεῖ, καὶ θεωρεῖ. ὅτι οὐδὲν νεώτερον ὄψονται οἱ μεθ' ἡμᾶς, οὐδὲ περιττότερον εἶδον οἱ πρὸ ἡμῶν· ἀλλὰ τρόπον τινὰ ὁ τεσσαρακοντούτης, ἐὰν νοῦν ὁποσονοῦν ἔχῃ, πάντα τὰ γεγονότα, καὶ τὰ ἐσόμενα ἑώρακε κατὰ τὸ ὁμοειδές. ἴδιον δὲ λογικῆς ψυχῆς, καὶ τὸ φιλεῖν τοὺς πλησίον, καὶ ἀλήθεια, καὶ αἰδώς, καὶ τὸ μηδὲν ἑαυτοῦ προτιμᾶν, ὅπερ ἴδιον καὶ νόμου, οὕτως ἀρ' οὐδὲν διήνεγκε λόγος ὀρθός, καὶ λόγος δικαιοσύνης. ᾠδῆς ἐπιτερποῦς, καὶ ὀρχήσεως, καὶ παγκρατίου καταφρονήσεις, ἐὰν τὴν μὲν ἐμμελῆ φωνὴν καταμερίσῃς εἰς ἕκαστον τῶν φθόγγων, καὶ καθ' ἕνα πύθῃ σεαυτοῦ εἰ τούτου ἥττων εἶ. διατραπήσῃ γάρ. ἐπὶ δὲ ὀρχήσεως τὸ ἀνάλογον ποιήσας καθ' ἑκάστην κίνησιν ἢ σχέσιν. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ παγκρατίου. ὅλως δ' οὖν χωρὶς ἀρετῆς, καὶ τῶν ἀπ' ἀρετῆς, μέμνησο ἐπὶ τὰ κατὰ μέρος τρέχειν. καὶ

τῇ διαιρέσει αὐτῶν εἰς καταφρόνησιν ἰέναι. τὸ δ' αὐτὸ καὶ ἐπὶ τὸν βίον ὅλον μετάφερε. οἵα ἐστὶν ἡ ψυχὴ ἡ ἕτοιμος, ἐὰν ἤδη ἀπολυθῆναι δέῃ τοῦ σώματος· καὶ ἤτοι σβεσθῆναι, ἢ σκεδασθῆναι, ἢ συμμεῖναι. τὸ δὲ ἕτοιμον τοῦτο, ἵνα ἀπὸ ἰδικῆς κρίσεως ἔρχηται, μὴ κατὰ ψιλὴν παράταξιν ὡς οἱ Χριστιανοί, ἀλλὰ λελογισμένως, καὶ σεμνῶς. καὶ ὥστε καὶ ἄλλον πεῖσαι ἀτραγῴδως· πεποίηκά τι κοινωνικῶς· οὐκοῦν ὠφέλημαι. τοῦτο ἵνα ἀεὶ πρόχειρον ἀπαντᾷ· καὶ μηδαμοῦ παύου. Τίς σου ἡ τέχνη; ἀγαθὸν εἶναι. τοῦτο δὲ πῶς καλῶς γίνεται, ἢ ἐκ θεωρημάτων. τῶν μὲν, περὶ τῆς τοῦ ὅλου φύσεως, τῶν δὲ περὶ τῆς ἰδίας τοῦ ἀνθρώπου κατασκευῆς. πρῶτον αἱ τραγῳδίαι παρήχθησαν ὑπομνηστικαὶ τῶν συμβαινόντων, καὶ ὅτι ταῦτα οὕτω πέφυκε γίνεσθαι. καὶ ὅτι οἷς ἐπὶ τῆς σκηνῆς ψυχαγωγεῖσθε, τούτοις μὴ ἄχθεσθε ἐπὶ τῆς μείζονος σκηνῆς. ὁρᾶτε γὰρ, ὅτι οὕτω δεῖ ταῦτα περαίνεσθαι. καὶ ὅτι φέρουσιν αὐτὰ καὶ οἱ κεκραγότες· Ἰὼ Κιθαιρών. καὶ λέγεται δέ τινα ὑπὸ τῶν τὰ δράματα ποιούντων χρησίμως. οἷον ἐστὶν ἐκεῖνο μάλιστα·

Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ.
Ἔχει λόγον καὶ τοῦτο.
Καὶ πάλιν,
Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμέεσθαι καὶ
Βίου θερίζειν ὥστε κάρπιμον στάχυν.
Καὶ ὅσα τοιαῦτα.

Μετὰ

Μετὰ δὲ τὴν τραγῳδίαν ἡ ἀρχαία κωμῳδία παρήχθη, παιδαγωγικὴν παρρησίαν ἔχουσα, καὶ τῆς ἀτυφίας οὐκ ἀχρήστως δι' αὐτῆς τῆς εὐθυρρημοσύνης ὑπομιμνήσκουσα· πρὸς οἷόν τι καὶ Διογένης ταυτὶ παρελάμβανε. μετὰ ταῦτα τίς ἡ μέση κωμῳδία, καὶ λοιπὸν ἡ νέα πρὸς τί ποτε παρείληπται, ἣ κατ' ὀλίγον ἐπὶ τὴν ἐκ μιμήσεως φιλοτεχνίαν ὑπερρύη ἐπίστησον· ὅτι μὲν γὰρ λέγεται καὶ ὑπὸ τούτων τινὰ χρήσιμα, οὐκ ἀγνοεῖται. ἀλλὰ ἡ ὅλη ἐπιβολὴ τῆς τοιαύτης ποιήσεως καὶ δραματουργίας πρὸς τίνα ποτὲ σκοπὸν ἀπέβλεψε; πῶς ἐναργὲς προσπίπτει τὸ μὴ εἶναι ἄλλην βίου ὑπόθεσιν εἰς τὸ φιλοσοφεῖν οὕτως ἐπιτήδειον, ὡς ταύτην ἐν ᾗ νῦν ὢν τυγχάνεις.

Κλάδος τοῦ προσεχοῦς κλάδου ἀποκοπεὶς, οὐ δύναται μὴ καὶ τοῦ ὅλου φυτοῦ ἀποκεκόφθαι. οὕτω δὴ καὶ ἄνθρωπος, ἑνὸς ἀνθρώπου ἀποσχισθεὶς ὅλης τῆς κοινωνίας ἀποπέπτωκε. κλάδον μὲν οὖν ἄλλος ἀποκόπτει, ἄνθρωπος δὲ αὐτὸς ἑαυτὸν τοῦ πλησίον χωρίζει, μισήσας καὶ ἀποστραφεὶς, ἀγνοεῖ δὲ ὅτι καὶ τοῦ ὅλου πολιτεύματος ἅμα ἀποτέτμηκεν ἑαυτόν. πλὴν ἐκεῖνό γε δῶρον τοῦ συστησαμένου τὴν κοινωνίαν Διός. ἔξεστι γοῦν πάλιν ἡμῖν συμφῦναι τῷ προσεχεῖ, καὶ πάλιν τοῦ ὅλου συμπληρωτικοῖς γίνεσθαι. πλεονάκις μέντοι γινόμενον τὸ κατὰ τὴν τοιαύτην διαί-

ρεσιν, δυσένωτον καὶ δυσαποκατάστατον τὸ ἀποχωροῦν ποιεῖ. ὅλως τε οὐχ ὅμοιος ὁ κλάδος ὁ ἀπ' ἀρχῆς συμβλαστήσας, καὶ σύμπνους συμμείνας τῷ μετὰ τὴν ἀποκοπὴν αὖθις ἐγκεντρισθέντι. ὅ, τί ποτε λέγουσι οἱ φυτουργοί, ὁμοθαμνεῖν μὲν, μὴ ὁμοδογματεῖν δέ. Οἱ ἐνιστάμενοι προϊόντι σοι κατὰ τὸν ὀρθὸν λόγον, ὥσπερ ἀπὸ τῆς ὑγιοῦς πράξεως ἀποτρέψαι σε οὐ δυνήσονται, οὕτως μηδὲ τῆς πρὸς αὐτοὺς εὐμενείας ἐκκρουέτωσαν· ἀλλὰ φύλασσε ἑαυτὸν ἐπ' ἀμφοτέρων ὁμοίως. μὴ μόνον ἐπὶ τῆς εὐσταθοῦς κρίσεως καὶ πράξεως, ἀλλὰ καὶ ἐπὶ τῆς πρὸς τοὺς κωλύειν ἐπιχειροῦντας, ἢ ἄλλως δυσχεραίνοντας πρᾳότητος. καὶ γὰρ τοῦτο ἀσθενές, τὸ χαλεπαίνειν αὐτοῖς ὥσπερ τὸ ἀποστῆναι τῆς πράξεως, καὶ ἐνδοῦναι καταπλαγέντα· ἀμφότεροι γὰρ ἐπίσης λιποτάκται, ὁ μὲν ὑποτρέσας, ὁ δὲ ἀλλοτριωθεὶς πρὸς τὸν φύσει συγγενῆ καὶ φίλον. Οὐκ ἔστι χείρων οὐδεμία φύσις τέχνης. καὶ γὰρ αἱ τέχναι τὰς φύσεις μιμοῦνται. εἰ δὲ τοῦτο, ἡ πασῶν τῶν ἄλλων τελεωτάτη καὶ περιληπτικωτάτη φύσις, οὐκ ἂν ἀπολείποιτο τῆς τεχνικῆς εὐμηχανίας. πᾶσαι δέ γε τέχναι τῶν κρειττόνων ἕνεκεν τὰ χείρω ποιοῦσιν· οὐκοῦν καὶ ἡ κοινὴ φύσις. καὶ δὴ ἔνθεν μὲν γένεσις δικαιοσύνης, ἀπὸ δὲ ταύτης αἱ λοιπαὶ ἀρεταὶ ὑφίστανται. οὐ γὰρ τηρη-

θήσεται

ὑφίσταται τὸ δίκαιον, ἐὰν ἤτοι διαφερώμεθα πρὸς τὰ μέσα, ἢ εὐεξαπάτητοι καὶ προπτωτικοὶ καὶ μεταπτωτικοὶ ὦμεν. Εἰ οὐκ ἔρχεται πρὸς σὲ τὰ πράγματα ὧν αἱ διώξεις καὶ φυγαὶ θορυβοῦσί σε. ἀλλὰ τρόπον τινὰ αὐτὸς ἐπ' ἐκεῖνα ἔρχῃ. τὸ γοῦν κρίμα τὸ περὶ αὐτὴν, ἡσυχαζέτω, κἀκεῖνα μενεῖ ἀτρεμοῦντα, καὶ οὔτε διώκων οὔτε φεύγων ὀφθήσῃ. σφαῖρα ψυχῆς αὐτοειδής, ὅταν μήτε ἐκτείνηται ἐπί τι, μήτε ἔσω συντρέχῃ, μήτε συνιζάνῃ. ἀλλὰ φωτὶ λάμπηται, ᾧ τὴν ἀλήθειαν ὁρᾷ τὴν πάντων, καὶ τὴν ἐν αὐτῇ.

Καταφρονήσει μού τις; ὄψεται. ἐγὼ δὲ ὄψομαι, ἵνα μή τι καταφρονήσεως ἄξιον πράσσων ἢ λέγων εὑρίσκωμαι. μισήσει; ὄψεται. ἀλλὰ ἐγὼ εὐμενὴς καὶ εὔνους παντί, καὶ τούτῳ αὐτῷ ἕτοιμος τὸ παρορώμενον δεῖξαι, οὐκ ὀνειδιστικῶς, οὐδὲ ὡς καταπιδεικνύμενος ὅτι ἀνέχομαι, ἀλλὰ γνησίως καὶ χρηστῶς, οἷος ὁ Φωκίων ἐκεῖνος, εἴ γε μὴ προσεποιεῖτο· τὰ ἔσω γὰρ δεῖ τοιαῦτα εἶναι, καὶ ὑπὸ τῶν θεῶν βλέπεσθαι ἄνθρωπον πρὸς μηδὲν ἀγανακτικῶς διατιθέμενον, μηδὲ δεινοπαθοῦντα· τί γάρ σοι κακὸν εἰ αὐτὸς νῦν ποιεῖς τὸ ἤδη τῇ φύσει σου οἰκεῖον, οὐ δέχῃ τὸ νῦν τῇ τῶν ὅλων φύσει εὔκαιρον, ἄνθρωπος τεταγμένος πρὸς τὸ γίνεσθαι δι' ὅτου δὴ τὸ κοινῇ συμφέρον; ἀλλήλων καταφρονοῦν-

τες, ἀλλήλοις ἀρεσκεύοντες, καὶ ἀλλήλων ὑπερέχειν θέλοντες, ἀλλήλοις ὑποκατακλίνονται. Ὡς σαπρὸς καὶ κίβδηλος ὁ λέγων, ἐγὼ προῄρημαι ἁπλῶς σοι προσφέρεσθαι. τί ποιεῖς ἄνθρωπε; τοῦτο οὐ δεῖ προλέγειν. αὐτὸ φανήσεται· ἐπὶ τοῦ μετώπου γεγράφθαι ὀφείλει· εὐθὺς ἡ φωνὴ τοιοῦτον ἔχει, εὐθὺς ἐν τοῖς ὄμμασιν ἐξέχει, ὡς τῶν ἐραστῶν ἐν τῷ βλέμματι, πάντα εὐθὺς γνωρίζει ὁ ἐρώμενος, τοιοῦτον ὅλως δεῖ τὸν ἁπλοῦν καὶ ἀγαθὸν εἶναι, οἷον γράσωνα. ἵνα ὁ παραστάς, ἅμα τῷ προσελθεῖν θέλῃ οὐ θέλῃ αἴσθηται. ἐπιτήδευσις δὲ ἁπλότητος σκάλμη ἐστίν, οὐδέν ἐστιν αἴσχιον λυκοφιλίας. πάντων μάλιστα τοῦτο φεῦγε, ὁ ἀγαθός, ὁ ἁπλοῦς, καὶ εὐμενής, ἐν τοῖς ὄμμασιν ἔχουσι ταῦτα. καὶ οὐ λανθάνει. Κάλλιστα δὲ ζῆν, δύναμις αὕτη ἐν τῇ ψυχῇ, ἐὰν πρὸς τὰ ἀδιάφορα ἀδιαφορῇ, ἀδιαφορήσει δέ, ἐὰν ἕκαστον αὐτῶν θεωρῇ διῃρημένως καὶ ὁλικῶς, καὶ μεμνημένος, ὅτι οὐδὲν αὐτῶν ὑπόληψιν περὶ αὐτῶν ἡμῖν ἐμποιεῖ, οὐδὲ ἔρχεται ἐφ' ἡμᾶς· ἀλλὰ τὰ μὲν ἀτρεμεῖ· ἡμεῖς δὲ ἐσμέν, οἱ τὰς περὶ αὐτῶν κρίσεις γεννῶντες καὶ οἷον γράφοντες ἑαυτοῖς, ἐξὸν μὲν μὴ γράφειν. ἐξὸν δὲ κἂν που λάθῃ, εὐθὺς ἐξαλεῖψαι. ὅτι ὀλίγου χρόνου ἔσται ἡ τοιαύτη προσοχή. καὶ λοιπὸν πεπαύσεται ὁ βίος. Τί μέντοι δύσκολον καλῶς ἔχειν ταῦτα; εἰ μὲν γὰρ κατὰ φύσιν ἐστί, χαῖρε αὐτοῖς.

καὶ

καὶ ῥάδια ἔστω σοι· εἰ δὲ παρὰ φύσιν, ζήτει τί ἐστί σοι κατὰ τὴν σὴν φύσιν. καὶ ἐπὶ τοῦτο σπεῦδε κἂν ἄδοξον ᾖ. παντὶ γὰρ συγγνώμη τὸ ἴδιον ἀγαθὸν ζητοῦντι. Πόθεν ἐλήλυθεν ἕκαστον, καὶ ἐκ τίνων ἕκαστον ὑποκειμένων, καὶ εἰς τί μεταβάλλει, καὶ οἷον ἔσται μεταβάλλον, καὶ ὡς οὐδὲν κακὸν πείσεται. καὶ πρῶτον, τίς ἡ πρὸς αὐτοὺς μοι σχέσις. καὶ ὅτι ἀλλήλων ἕνεκεν γεγόναμεν. Καὶ καθ' ἕτερον λόγον, προστησόμενος αὐτῶν γέγονα, ὡς κριὸς ποίμνης, ἢ ταῦρος ἀγέλης. ἄνωθεν δὲ ἔπιθι, ἀπὸ τοῦ Εἰ μὴ ἄτομοι, φύσις ἡ τὰ ὅλα διοικοῦσα. εἰ τοῦτο, τὰ χείρονα τῶν κρειττόνων ἕνεκεν· ταῦτα δὲ, ἀλλήλων. δεύτερον δὲ, ὁποῖοί τινές εἰσιν ἐπὶ τῆς τραπέζης, ἐν τῷ κλιναρίῳ, τἄλλα. μάλιστα δὲ, οἵας ἀνάγκας δογμάτων κειμένας ἔχουσιν, καὶ αὐτὰ δὲ ταῦτα μεθ' οἵου τύφου ποιοῦσι. τρίτον, ὅτι εἰ μὲν ὀρθῶς ταῦτα ποιοῦσιν, οὐ δεῖ δυσχεραίνειν· εἰ δ' οὐκ ὀρθῶς, δηλονότι ἄκοντες καὶ ἀγνοοῦντες. πᾶσα γὰρ ψυχὴ ἄκουσα στέρεται, ὥσπερ τοῦ ἀληθοῦς, οὕτως καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ προσφέρεσθαι. ἄχθονται γοῦν ἀκούοντες ἄδικοι, καὶ ἀγνώμονες καὶ πλεονέκται, καὶ καθάπαξ ἁμαρτητικοὶ περὶ τοὺς πλησίον. τέταρτον, ὅτι καὶ αὐτὸς πολλὰ ἁμαρτάνεις, καὶ ἄλλος τοιοῦτος εἶ. καὶ εἰ τινῶν δὲ ἁμαρτημάτων ἀπέχῃ,

ἀλλὰ

ἀλλὰ τὴν γε ἕξιν ποντικὴν ἔχεις, εἰ καὶ διὰ
δειλίαν, ἢ δοξοκοπίαν, ἢ τοιοῦτό τι κακὸν, ἀπέ-
χῃ τῶν ὁμοίων ἁμαρτημάτων. πέμπτον, ὅτι οὐ-
δὲ εἰ ἁμαρτάνουσι κατείληφας. πολλὰ γὰρ κατ'
οἰκονομίαν γίνεται, καὶ ὅλως πολλὰ δεῖ πρό-
τερον μαθεῖν, ἵνα τις περὶ ἀλλοτρίας πράξεως
καταληπτικῶς τι ἀποφήνηται. ἕκτον, ὅτι ὅταν
λίαν ἀγανακτῇς, ἢ καὶ δυσπαθῇς, ἀκαριαῖος ὁ
ἀνθρώπειος βίος, καὶ μετ' ὀλίγον πάντες ἐξε-
τάθημεν. ἕβδομον, ὅτι οὐχ αἱ πράξεις αὐτῶν
ἐνοχλοῦσιν ἡμῖν. ἐκεῖναι γάρ εἰσιν ἐν τοῖς ἐκείνων
ἡγεμονικοῖς· ἀλλὰ αἱ ἡμέτεραι ὑπολήψεις. ἆ-
ρον γοῦν καὶ θέλησον ἀφεῖναι τὴν ὡς περὶ δεινοῦ
κρίσιν, καὶ ἀπῆλθεν ἡ ὀργή. πῶς οὖν ἀρεῖς; λογι-
σάμενος ὅτι οὐκ αἰσχρόν. ἐὰν γὰρ μὴ μόνον ᾖ τὸ αἰ-
σχρὸν κακὸν, ἀνάγκη καὶ σὲ πολλὰ ἁμαρτάνειν,
καὶ λῃστὴν καὶ παντοῖον γίνεσθαι. ὄγδοον, ὅσῳ
χαλεπώτερα ἐπιφέρουσιν αἱ ὀργαὶ καὶ λῦπαι
αἱ ἐπὶ τοῖς τοιούτοις, ἤπερ αὐτά ἐστιν ἐφ' οἷς ὀρ-
γιζόμεθα καὶ λυπούμεθα. ἔνατον, ὅτι τὸ εὐμε-
νὲς ἀνίκητον, ἐὰν γνήσιον ᾖ καὶ μὴ σεσηρὸς, μηδὲ
ὑπόκρισις. τί γάρ σοι ποιήσει ὁ ὑβριστικώτα-
τος, ἐὰν διατελῇς εὐμενὴς αὐτῷ, καὶ εἰ οὕτως
ἔτυχε πράως παραινῇς καὶ μεταδιδάσκῃς εὐ-
σχόλως παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν, ὅτε κακὰ
ποιεῖν σε ἐπιχειρεῖ; μὴ τέκνον, πρὸς ἄλλο πε-

φύκαμεν. ἐγὼ μὲν οὐ μὴ βλαβῶ, σὺ δὲ βλά-
πτῃ, τέκνον. καὶ δεικνύναι εὐαφῶς καὶ ὁλικῶς,
ὅτι τοῦτο οὕτως ἔχει. ὅτι οὐδὲ μέλισσαι αὐτὸ ποιοῦ-
σιν, οὐδ᾽ ὅσα συναγελαστικὰ πέφυκε. δεῖ δὲ μή
τι εἰρωνικῶς αὐτὸ ποιεῖν, μήτε ὀνειδιστικῶς, ἀλ-
λὰ φιλοστόργως καὶ ἀδήκτως τῇ ψυχῇ, καὶ
μὴ ὡς ἐν σχολῇ, μηδὲ ἵνα ἄλλος παραστὰς θαυ-
μάσῃ· ἀλλ᾽ ἤτοι πρὸς μόνον, καὶ ἐὰν ἄλλοι τι-
νὲς περιεστήκωσι. τούτων τῶν ἐννέα κεφαλαί-
ων μέμνησο, ὡς παρὰ τῶν Μουσῶν δῶρα εἰλη-
φώς, καὶ ἄρξαι ποτὲ ἄνθρωπος εἶναι, ἕως
ζῇς. φυλακτέον δὲ ἐπίσης τοῦ ὀργίζεσθαι αὐ-
τοῖς, τὸ κολακεύειν αὐτούς. ἀμφότερα γὰρ ἀ-
κοινώνητα, καὶ πρὸς βλάβην φέρει. πρόχει-
ρον δ᾽ ἐν ταῖς ὀργαῖς, ὅτι οὐχὶ τὸ θυμοῦσθαι ἀν-
δρικὸν, ἀλλὰ τὸ πρᾶον καὶ ἥμερον, ὥσπερ ἀν-
θρωπικώτερον, οὕτως καὶ ἀρρενικώτερον, καὶ
ἰσχύος καὶ νεύρων καὶ ἀνδρείας τούτῳ μέτε-
στιν, οὐχὶ τῷ ἀγανακτοῦντι καὶ δυσαρεστοῦντι.
ὅσῳ γὰρ ἀπαθείᾳ τοῦτο οἰκειότερον, τοσούτῳ
καὶ δυνάμει. ὥσπερ τε ἡ λύπη ἀσθενοῦς, οὕτως
καὶ ἡ ὀργή. ἀμφότεροι γὰρ τέτρωνται, καὶ ἐνδε-
δώκασιν. εἰ δὲ βούλει, καὶ δέκατον παρὰ τοῦ μου-
σηγέτου δῶρον λαβέ. ὅτι τὸ μὴ ἀξιοῦν ἁμαρ-
τάνειν τοὺς φαύλους μανικόν. ἀδυνάτου γὰρ
ἐφίεται. τὸ δὲ συγχωρεῖν ἄλλοις μὲν εἶναι τοιούτους,

ἀξιοῦν

ἀξιοῦν δὲ μὴ εἰς σὲ ἁμαρτάνειν, ἄγνωμον καὶ τυραννικόν. Τέσσαρας μάλιστα τροπὰς τοῦ ἡγεμονικοῦ παραφυλακτέον διηνεκῶς, καὶ ἐπειδὰν φωράσῃς, ἀπαλειπτέον, ἐπιλέγοντα ἐφ' ἑκάστου οὕτως. τοῦτο τὸ φάντασμα οὐκ ἀναγκαῖον. τοῦτο, λυτικὸν κοινωνίας. τοῦτο, οὐκ ἀπὸ σαυτοῦ μέλλεις λέγειν. τὸ γὰρ μὴ ἀφ' ἑαυτοῦ λέγειν ἐν τοῖς ἀτοπωτάτοις νόμιζε. τέταρτον δὲ ἐστὶ καθ' ὃ σεαυτῷ ὀνειδιεῖς, ὅτι τοῦτο ἡττωμένου ἐστὶ καὶ ὑποκατακλινομένου τοῦ ἐν σοὶ θειοτέρου μέρους, τῇ ἀτιμοτέρᾳ καὶ θνητῇ μοίρᾳ τῇ τοῦ σώματος, καὶ ταῖς τούτου παχείαις ἡδοναῖς. Τὸ μὲν πνευμάτιόν σου, καὶ τὸ πυρῶδες πᾶν ὅσον ἐγκέκραται, καίτοι φύσει ἀνωφερῆ ὄντα, ὅμως πειθόμενα τῇ τῶν ὅλων διατάξει, παρακρατεῖται ἐνταῦθα ἐπὶ τοῦ συγκρίματος. καὶ τὸ γεῶδες δὲ τὸ ἐν σοὶ πᾶν, καὶ τὸ ὑγρόν, καίτοι κατωφερῆ ὄντα, ὅμως ἐγήγερται καὶ ἕστηκε τὴν οὐχ ἑαυτῶν φυσικὴν στάσιν. οὕτως ἄρα καὶ τὰ στοιχεῖα ὑπακούει τοῖς ὅλοις, ἐπειδάν που καταταχθῇ σὺν βίᾳ μένοντα, μέχρις ἂν ἐκεῖθεν πάλιν τὸ ἐνδόσιμον τῆς διαλύσεως σημήνῃ. οὐ δεινὸν οὖν μόνον τὸ νοερόν σου μέρος ἀπειθὲς εἶναι, καὶ ἀγανακτεῖν τῇ ἑαυτοῦ χώρᾳ; καίτοι οὐδέν γε βίαιον τούτῳ ἐπιτάσσεται. ἀλλὰ μόνα, κατὰ φύσιν ἐστὶν αὐτῷ. οὐ μέντοι ἀνέχεται, ἀλλὰ τὴν ἐναντίαν φέρεται. ἡ γὰρ ἐπὶ τὰ ἀ-

δικήματα καὶ τὰ ἀκολαστήματα, καὶ τὰς λύπας, καὶ τοὺς φόβους κίνησις, οὐδὲν ἄλλο ἐστὶν, ἢ ἀφισταμένου τῆς φύσεως. καὶ ὅταν δέ τινι τῶν συμβαινόντων δυσχεραίνει τὸ ἡγεμονικὸν, καταλείπει καὶ τότε τὴν ἑαυτοῦ χώραν. πρὸς ἰσότητα γὰρ καὶ θεοσέβειαν κατεσκεύασται, οὐχ ἧττον ἢ πρὸς δικαιοσύνην. καὶ γὰρ ταῦτα ἐν εἴδει ἐστὶ τῆς εὐκοινωνησίας, μᾶλλον δὲ πρεσβύτερα τῶν δικαιοπραγημάτων. Ὧι μὴ εἷς καὶ ὁ αὐτός ἐστιν ἀεὶ τοῦ βίου σκοπὸς, οὗτος εἷς καὶ ὁ αὐτὸς δι' ὅλου τοῦ βίου εἶναι οὐ δύναται. οὐκ ἀρκεῖ τὸ εἰρημένον, ἐὰν μὴ κἀκεῖνο προσθῇς, ὁποῖον εἶναι δεῖ τοῦτον τὸν σκοπόν. ὥσπερ γὰρ οὐχ ἡ πάντων τῶν ὁπωσοῦν πλείοσι δοκούντων ἀγαθῶν ὑπόληψις ὁμοία ἐστὶν, ἀλλ' ἡ τῶν τοιῶνδέ τινων, τουτέστι τῶν κοινῶν, οὕτω καὶ τοὺς σκοποὺς, δεῖ τοὺς κοινωνικοὺς καὶ πολιτικὸν προστήσεσθαι. ὁ γὰρ εἰς τοῦτον πάσας τὰς ἰδίας ὁρμὰς ἀπευθύνων, πάσας τὰς πράξεις ὁμοίας ἀποδώσει, καὶ κατὰ τοῦτο ἀεὶ ὁ αὐτὸς ἔσται. Τὸν μῦν τὸν ὀρφνὸν, καὶ τὸν κατοικίδιον καὶ τὴν πτοίαν τούτου καὶ διασόβησιν. Σωκράτης καὶ τὰ τῶν πολλῶν δόγματα, λαμίας ἐκάλει, παιδίων δείματα. Λακεδαιμόνιοι τοῖς μὲν ξένοις ἐν ταῖς θεωρίαις ὑπὸ τῇ σκιᾷ τὰ βάθρα ἐτίθεσαν, αὐτοὶ δὲ οὗ ἔτυχεν ἐκαθέζοντο. Τῷ Γορδίκκᾳ ὁ Σωκράτης περὶ

τοῦ μὴ ὀρέχεσθαι περὶ αὐτὸν, ἵνα ἔφη μὴ τῷ κακίστῳ ὀλέθρῳ ἀπόλωμαι. τουτέστι μὴ εὖ παθὼν οὐ δυνηθῶ ἀντευποιῆσαι. Ἐν τοῖς τῶν Ἐφεσίων γράμμασι, παράγγελμα ἔκειτο συνεχῶς ὑπομιμνήσκεσθαι τῶν παλαιῶν τινος τῶν ἀρετῇ χρησαμένων. Οἱ Πυθαγόρειοι, ἕωθεν εἰς τὸν οὐρανὸν ἀφορᾶν, ἵν᾽ ὑπομιμνησκώμεθα τῶν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως τὸ ἑαυτῶν ἔργον διανυόντων, καὶ τῆς τάξεως καὶ τῆς καθαρότητος, καὶ τῆς γυμνότητος. οὐδὲν γὰρ προκάλυμμα ἄστρου. Οἷος ὁ Σωκράτης τὸ κώδιον ὑπεζωσμένος, ὅτε ἡ Ξανθίππη λαβοῦσα τὸ ἱμάτιον ἔξω προῆλθε. καὶ ἃ εἶπεν ὁ Σωκράτης τοῖς ἑταίροις αἰδεσθεῖσι καὶ ἀναχωρήσασιν, ὅτε αὐτὸν εἶδον οὕτως ἐσταλμένον.

Ἐν τῷ γράφειν καὶ ἀναγινώσκειν οὐ πρότερον ἄρξεις, πρὶν ἀρχθῇς. τοῦτο πολλῷ μᾶλλον ἐν τῷ βίῳ.

Δοῦλος πέφυκας, οὐ μέτεστί σοι λόγου.

Ἐμὸν δ᾽ ἐγέλασε φίλον κῆρ.

Μέμψονται δ᾽ ἀρετὴν χαλεποῖς βάζοντες ἔπεσιν. Σῦκον χειμῶνος ζητεῖν, μαινομένου. τοιοῦτος ὁ τὸ παιδίον ζητῶν, ὅτε οὐκ ἔτι δίδοται. καταφιλοῦντα τὸ παιδίον ἔλεγεν ὁ Ἐπίκτητος, ἔνδον ἐπιφθέγγεσθαι, αὔριον ἴσως ἀποθανῇ. δύσφημα ταῦτα; οὐδὲν δύσφημον ἔφη φυσι-

φυσικοῦ τινος ἔργου σημαντικόν. ἢ καὶ τὸ τοὺς στάχυας θερισθῆναι, δύσφημον. ὄμφαξ, σταφυλή, σταφὶς, πάντα μεταβολαί, οὐκ εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς τὸ νῦν μὴ ὄν. Λῃστὴς προαιρέσεως οὐ γίνεται, τοῦ Ἐπικτήτου. Τέχνην δὲ ἔφη περὶ τὸ συγκατατίθεσθαι εὑρεῖν. καὶ ἐν τῷ περὶ τὰς ὁρμὰς τόπῳ τὸ προσεκτικὸν φυλάσσειν, ἵνα μεθ' ὑπεξαιρέσεως, ἵνα κοινωνικαὶ, ἵνα κατ' ἀξίαν. καὶ ὀρέξεως μὲν παντάπασιν ἀπέχεσθαι, ἐκκλίσει δὲ πρὸς μηδὲν τῶν οὐκ ἐφ' ἡμῖν χρῆσθαι, οὐ περὶ τοῦ τυχόντος οὖν ἔφη ἐστὶν ὁ ἀγών, ἀλλὰ περὶ τοῦ μαίνεσθαι, ἢ μὴ ὁ Σωκράτης ἔλεγε. τί θέλετε λογικῶν ψυχὰς ἔχειν, ἢ ἀλόγων; λογικῶν. τίνων λογικῶν; ὑγιῶν, ἢ φαύλων; ὑγιῶν; τί οὖν ζητεῖτε; ὅτι ἔχομεν. τί οὖν μάχεσθε, καὶ διαφέρεσθε;